Lexicon: Letter Iota by Pseudo-Zonaras

ι.1077 *I.*

Τὸ I μετὰ τοῦ A. — Ἀρσενικόν. —

Ἰακώβ. κύριον. Ἰαβείμ. κύριον. Ἰαβὶν δὲ, ι. Ἰάειρος. κύριον. Ἰαζάρτης. ὁ Τάναϊς ποταμός. Ἰακώβ. κύριον. πτερνιστὴς ἑρμηνεύεται. Ἴακχος. ὁ Διόνυσος, ἢ ἑορτή. παρὰ τὴν ἰαχὴν τὴν ἐν ταῖς χορείαις, τουτέστι τὴν βοὴν, γέγονεν ἴακχος πλεονασμῷ τοῦ κ. Ἰάλεμος. ἦχος. βοή. θρῆνος. ἀπὸ τοῦ ἰάχω. τοῦτο παρὰ τὸ ἴα, ὃ σημαίνει τὴν φωνήν. ἔστιν ἴημι, ἐκ τούτου
ι.1078 γίνεται ἴηος, ἐκ τοῦ ἴηος γίνεται ἰήεμος διὰ τοῦ ε κατὰ τὴν περίληψιν, εἶτα κατὰ τροπὴν τοῦ η εἰς α ἰάεμος, καὶ πλεονασμῷ τοῦ λ, ἰάλεμος, καὶ ἰηλεμῆσαι. ἐν ἄλλοις δὲ εὗρον ἐγὼ τὸ ἰάλεμος παρὰ τὸ ἐπὶ τοῖς ὀλωλόσιν ἴαν φέρειν, ὅ ἐστι φωνὴν ἢ βοήν. Ἴαμβος. στίχος ποδῶν ἓξ δισύλλαβος. Ἰαμβοφάγος. ὁ λοίδορος. ἐπειδὴ ἴαμβος ἔμμετρός ἐστι λοιδορία. Ἰανοκρήδεμνος. ὁ στέμμα ἐξ ἴων φορῶν. Ἰός. τὸ φάρμακον. ἐκ τοῦ ἰάω ἰῶ, τὸ θεραπεύω. ἰὸς δὲ τὸ βέλος δασύνεται, ἐκ τοῦ ἵημι, τὸ πέμπω. οὕτως
ι.1079 εὗρον παρὰ τῷ Τζέτζῃ. Ἰάπυξ. ἄνεμος ἐλαφρὸς, ἢ ὄνομα τόπου. Ἰασούβ. κύριον. ἑρμηνεύεται δὲ ἐπιστρέφων. Ἰαπετός. παρὰ τὸ ἴπτω, τὸ βλάπτω, ἰπετὸς καὶ πλεονασμῷ τοῦ α, ἰαπετός. Ἴασπις. λίθος πολυτελής. Ἴασος. παρὰ τὸν ἰάσω μέλλοντα, ἐξ οὗ καὶ τὸ ἰάσομαι γίνεται. ἢ ὅτι τὰ διὰ τοῦ ασος τρισύλλαβα ἓν φωνῆεν θέλει ἔχειν κατὰ τὴν ἀρχὴν, οἷον· Κριασὸς, Πιασὸς, ὀνόματα κύρια. Ἰδιώτην. τὸν ἐν τῷ λαϊκῷ τάγματι τεταγμένον λέγει ὁ Ἀπόστολος. καὶ τοὺς ἔξω τῆς στρατείας οὕτως καλεῖν εἰώθασιν. ὁ ἀναπληρῶν τὸν τόπον τοῦ ἰδιώτου· πῶς ἐρεῖ τὸ ἀμήν.

— Θηλυκόν. —

ι.1080 Ἴα. ἡ μία, καὶ ἡ φωνή. Ἴαιρα. κύριον. Ἰαληψίς. χώρα. Ἰαμβύκαι. ὄργανα μουσικὰ τρίγωνα, ἐν οἷς τοὺς ἰάμβους ᾖδον. οἱ δὲ σαμβύκαι—. Ἰαμνία. ὄνομα πόλεως. εὗρον καὶ διφθόγγως τὸ μνει. Ἰανοκρήδεμνος. ἡ ἐξ ἴων φοροῦσα στέμμα. Ἰαπυγία. ὄνομα τόπου. Ἴασις καὶ ἄρηξις διαφέρει. τῶν γὰρ νοσημάτων τὰ μὲν θεραπεύεται προσκαίροις θεραπείαις, ὅπέρ ἐστιν ἄρηξις, τὰ δὲ θεραπεύεται παντελῶς, ὅπέρ ἐστιν ἴασις. Ἰατρεία. πόνου καὶ κακῶν ἀπαλλαγή. Ἰατρική. ἰατική τις οὖσα, παρὰ τὸ ἰᾶσθαι, πλεονασμῷ

τοῦ ρ. Ἰαχή. ἡ κραυγή.

— Οὐδέτερον. —

ι.1081 Ἰαώ. ἡ σωτηρία. παρ᾽ Ἑβραίοις. Ἴα. τὰ μυρίπνοα ἄνθη. ἰὰ δὲ τὰ βέλη. Ἰαλεμώδη. θρηνώδη, ψυχρὰ, οὐδενὸς ἄξια. Ἴαμα. ἡ θεραπεία. Ἰαμβεῖον. ἀπὸ τῆς εὑρούσης γυναικὸς βάκχης τινὸς Ἰάμβης καλουμένης, ἢ ἀπὸ τοῦ ἴαν βάζειν. ἡ γὰρ κοινὴ φωνὴ τῶν ἀνθρώπων ἴα καλεῖται. Ἰανόκροκον. τὸ λεπτόν. Ἰαχήματα. κραυγαὶ ἢ ᾠδαὶ διονυσιακαί.
καὶ κορυβαντείων ἰαχήματα χάλκεα ῥόπτρων.

— Ῥῆμα. —

Ἰάειρε. πρόσφερε. Ἰακχάζουσιν. τὸν Διόνυσον ἑορτάζουσιν ἢ ἐπιβοῶσιν.
ι.1082 Ἡρόδοτος δὲ ἀντὶ τοῦ λέγουσι καὶ φυλάττουσιν. Ἰάλλω. πέμπω, προπέμπω, ἐμβάλλω. παρὰ τὸ ἰῶ τὸ παράγωγον ἰάλλω. Ἰάνθη. ηὐφράνθη. Ἰαίνειν. εὐφραίνειν. καὶ ἰαίνεσθαι. Ἰαμβίζειν. τὸ ὡς βέλη βάλλειν τὰ λεγόμενα, ἢ τὸ ὑβρίζειν. Ἰάπτω. τὸ βλάπτω. Ἰᾶσι. πέμπουσι. ἴασι δὲ ἀντὶ τοῦ πορεύονται. Ἰαύει. κοιμᾶται. καὶ ἰαύων. παρὰ τὸ αὔω, καὶ πλεονασμῷ τοῦ ι, ἰαύω. ἢ παρὰ τὸ ἴον, ὃ σημαίνει τὸν μόνον, ἰάω, τὸ μονάζω, καὶ πλεονασμῷ τοῦ υ, ἰαύω· καὶ γὰρ ἡσυχάζει ὁ καθεύδων. εὖρον δὲ καὶ τὸ ἐνδιατρίβειν καὶ ἀγρυπνεῖν σημαίνειν τὸ ἰαύειν. ὅλας νύκτας
ι.1083 ἰαύειν. Ἴαχεν. ἐβόησεν. Ἰάψαι. βλάψαι. ἐπιβαλεῖν. ἀπὸ τοῦ ἰάπτω. Ἰαστί. ἑλληνιστί. Ἰατταταιὰξ καὶ ἰαττατάι. θρηνητικὸν ἐπίρρημα.
ἰατταταιὰξ τῶν κακῶν ἰατταταιάξ.
Ἰαῦ. θρηνητικὸν ἐπίρρημα.

Τὸ Ι μετὰ τοῦ Β. — Ἀρσενικόν. —

Ἴβηρες. ἔθνος. καὶ Ἰβηρία χώρα. Ἴβις. ὄρνεον ὀφιοφάγον. καὶ κλίνεται ἴβιδος, ἡ αἰτιατικὴ τοὺς ἴβιδας, ἢ καὶ τοὺς ἴβεις, ὡς τοὺς ὄφεις. Ἰβρύκαλος. ὁ χοῖρος. Ἰβυκανητῶν. σαλπικτῶν. ἀπὸ τοῦ Ἰβύκου εὑρετοῦ. ἐξ οὗ καὶ ἰβύκηνον, μουσικὸν ὄργανον. Ἴβηρ. ἐθνικόν ἐστι καὶ παραγωγὴν οὐκ ἔχει. τινὲς δὲ παράγουσιν αὐτὸ ἀπὸ τοῦ ἵμερος, ὃ
ι.1084 σημαίνει τὴν ἐπιθυμίαν. Ἰβύκηνον. μουσικὸν ὄργανον. ἀπὸ τοῦ Ἰβύκου. ὅτι κατὰ συμπλοκὴν Κελτῶν πρὸς Ῥωμαίους ἀναρίθμητον ἦν τὸ τῶν ἰβυκανητῶν καὶ σαλπιγκτῶν πλῆθος.

Τὸ Ι μετὰ τοῦ Γ. — Ἀρσενικόν. —

Ἴγγρος. ὁ ἐγκέφαλος. Ἰγνάτιος. κύριον. Ἴγγωρ καὶ Ἴγγηρ. ἐθνικά.

— Θηλυκόν. —

Ἴγδη καὶ ἴγδις. ἡ τριβαία, καὶ ἔνθα μίσγομεν τὰ ἀρτύματα. Ἰγνύς. ὁ ὑπὸ τὸ γόνυ τόπος, ὁ ὀπίσω τοῦ γόνατος. ἔστι δὲ καὶ ἡ ἰγνύη. ἀπὸ τοῦ τὴν καμπὴν ἱκνεῖσθαι τῶν γονάτων. ὅτι αἱ ἰγνύες αἴτιάι εἰσι τοῦ ἱκνεῖσθαι
ι.1085 καὶ βαδίζειν. Ἴγδισμα. λύγισμα ὀρχηστικὸν, ἐν ᾧ ἐλύγιζον τὴν ὀσφὺν ἐμφερῶς τῷ δοίδυκι.

— Ῥῆμα. —

Ἰγμένος. ὁ ἐλθών.

Τὸ Ι μετὰ τοῦ Δ. — Ἀρσενικόν. —

Ἰδάλιμος. ὁ δίυγρος, ὁ ἱδρώς. ἀπὸ τοῦ ἰδίω, τὸ κοπιῶ, καὶ ἱδρῶ. ἐκ τούτου γίνεται ἴδιμος καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς ἰδάλιμος. Ἴδας. ὁ μέγας. Ἴδος. ὁ ἱδρώς. Ἰδαίους. ψυχρούς.

ἐγὼ δὲ πρὸς τὰ θερμὰ ταῦθ᾽ ὑπερβολῇ
τοὺς δακτύλους δήπουθεν ἰδαίους ἔχω.

ι.1086 Ἰδιῶται. ἀντὶ τοῦ πολῖται. οὕτως Θουκυδίδης. Ἴδμονα. ἔμπειρον. Ἰδουμαῖος. οὕτως ἐκλήθη ὁ ἀπόγονος τοῦ Ἡσαῦ. ἴδουμα γὰρ λέγεται εἶδος φακῆς ξανθῆς, ἧς ἐπιθυμήσας Ἡσαῦ ἀπέδοτο τὰ πρωτοτόκια. Ἴδρις. ὁ ἔμπειρος. ἔστι ῥῆμα εἴδω, τὸ ἐπίσταμαι, ὁ μέλλων εἴσω, ῥῆμα ὄνομα εἴδις, ἀποβολῇ τοῦ ε καὶ πλεονασμῷ τοῦ ρ, ἴδρις. Ἱδρώς. οἱ μὲν, παρὰ τὸ ἰδιῶ γέγονε πλεονασμῷ τοῦ ρ· οἱ δὲ, ἀπὸ τοῦ ἱδρῶ, ἱδρώς. Ἴδρις. ὁ μύρμηξ. παρὰ Ἡσιόδῳ·

—ὅτε τ᾽ ἴδρις σωρὸν ἀμᾶται.

σωρὸν τὸν καρπὸν λέγει. Ἱδρώς. παρὰ τὸ ὕδωρ ὑδαρός. καὶ συγκοπῇ τοῦ
ι.1087 α καὶ τροπῇ τοῦ υ εἰς ι γίνεται ἱδρώς. Ἰδέα. ἡ θεωρία, καὶ ὁ χαρακτὴρ τοῦ λόγου, ι. Ἰδέαι καὶ αἱ ὑποθέσεις. τότε δὲ πολλαὶ ἰδέαι κακῶν συνέσχον τὴν πόλιν. Ἴδη. ὄνομα ὄρους ὑψηλοῦ. οἱονεὶ ὅθεν ἐστὶν ἰδεῖν καὶ θεωρεῖν ἅπαντα τὰ μακρόθεν. γράφεται δὲ διὰ τοῦ ἰῶτα, ἐπειδὴ τὰ εἰς δη βαρύτονα οὐ θέλει διφθόγγῳ παραλήγειν. οἷον κνίδη· βοτάνη ἐστὶ στυπτική. οὕτως οὖν καὶ Ἴδη. πρόσκειται βαρύτονα, διὰ τὸ σπουδὴ καὶ αὐδή. Ἰδιότης. ἡ συγγένεια. ἢ ἰδιότης ἐστὶν οὐσίας πάσης φυσιώδης ποιότης. ἢ ἰδιότης ἐστὶν, ὃ μόνον πρόσεστιν ἀεὶ καὶ παντὶ τῷ ὑπὸ τὸ αὐτὸ εἶδος τελοῦντι. Ἰδιωτικαὶ δίκαι. αἱ εἰς χρήματα τὴν ζημίαν ἐπάγουσαι.

οἷον ἀφαίρεσις πράγματος κινητοῦ ἢ ἀκινήτου. Ἰδουμαία. ἑρμηνεύεται αἱματώδης ἢ πηλώδης. δύναται δὲ ληφθῆναι καὶ εἰς τὴν σάρκα τοῦ
ι.1088 κυρίου. Ἵδρυσις. ἑδραία ἀσφάλεια ἢ θεμελίωσις. Ἴδη. ὄνομα ὄρους, καὶ πᾶν σύμφυτον ὄρος.

— Οὐδέτερον. —

Ἰδάλιμον. δίυγρον. ἢ εὐειδὲς, ἢ καυστικόν. Ἰδαῖον. ἄντρον ἐν Κρήτῃ. Ἴδιον. τὸ ἰδιωτικὸν, ὡς Δημοσθένης φησίν. Ἴδιον. τὸ μιᾷ φύσει ἁρμόζον, καὶ ἀντιστρέφον πρὸς τὸ ὁριστὸν, ὥσπερ τὸ, νοῦ καὶ ἐπιστήμης δεκτικὸν ἐπὶ τοῦ ἀνθρώπου, καὶ ἐπὶ τοῦ ἵππου τὸ χρεμετιστικόν. περὶ τούτου ὁ λόγος τοῖς φιλοσόφοις, τοῦ παντὶ καὶ μόνῳ καὶ ἀεὶ ὑπάρχοντος, ὅπερ ἴδιον ἐπουσιῶδες καλοῦσιν. Ἴδιόν ἐστι τὸ παντὶ καὶ μόνῳ τῷ εἴδει καὶ ἀεὶ ὑπάρχον. Ἴδιόν ἐστι τὸ ἰδίως ἐφεστὼς ἐν τῷ προσώπῳ. Ἴδιόν ἐστι σαρκὸς ἐμψύχου τὸ κοπιοῦσθαι, τὸ ὀδυνᾶσθαι, πεινῇν, δειψῇν, ὑποκρατεῖσθαι. Ἴδιόν ἐστι ψυχῆς σώματι κεχρημένης λύπαι, ἀδημονία,
ι.1089 φροντίδες, καὶ ὅσα τοιαῦτα. Ἴδιόν ἐστιν ἀνθρώπου τὸ γελαστικόν. Ἴδιόν ἐστιν ἀνθρώπου κυρίως τὸ σύνθετον ἐκ θνητῆς καὶ ἀθανάτου φύσεως ἐν ἄλλῃ οἱᾳδήποτε οὐσίᾳ μὴ γνωριζόμενον. Ἰδικόν. ἰδικόν ἐστι τοῦ ἀνθρώπου ἡ οὐσία ἤγουν ἡ φύσις. Ἰδίωμα. τὸ ἔν τινι φύσει γνωριζόμενον κυρίως, καὶ ἐν ἑτέρᾳ οὐσίᾳ μὴ ὑπάρχον. ὥσπερ ἐν τῷ ἀνθρώπῳ τὸ γελαστικόν. Ἰδίωμα λέγεται κατὰ τὸ ἴδια εἶναι ἅμα τῆς ἰδίας φύσεως ἀμιγὲς τῶν λοιπῶν οὐσιῶν ὑπάρχον. ἢ διὰ τὸ ἐν τῷ εἴδει ἅμα εἶναι. ἀχώριστοι γὰρ εἰσὶ τῶν φύσεων καὶ τῶν ὑποστάσεων αἱ αὐτῶν ἰδιότητες. Ἰδίωμα ἤγουν ἰδιότης ἐστὶ τὸ κυρίως ἐν τινὶ φύσει ἰδίως γνωριζόμενον, ἐν ἑτέρᾳ δὲ μὴ εὑρισκόμενον. οἷον ἐν τῇ θείᾳ φύσει τὸ προαιώνιον, τὸ ἄκτιστον, τὸ ἀπερίγραπτον. ἅτινα οὐχ ὑπάρχουσιν ἐν ἄλλῃ οἱᾳδήποτε οὐσίᾳ οὔτε ἐν αὐτῷ τῷ παναγίῳ σώματι τοῦ Χριστοῦ κατ᾽ οὐσίαν. οὔτε γὰρ προαιώνιόν ἐστιν οὔτε ἄκτιστον οὔτε ἀπερίγραπτον ἔσεταί ποτε. Ἰδίωμά ἐστι τὸ ἰδικῶς ἐν ᾧ ἐστὶ καὶ μόνον γνωριζόμενον, ἐν ἑτέρῳ δὲ οὔ. Ἰδίωμά ἐστι τὸ σημαντικὸν πάσης οὐσίας σχῆμα τὲ καὶ πρᾶγμα. Ἰδίωμά ἐστι τὸ σημαῖνον, οὗ ἐστὶ τὴν ὕπαρξιν. Ἰδίωμα ὑποστατικόν ἐστι τὸ ἀφορίζον τοῦ κοινοῦ τῆς φύσεως γνώρισμα. ἢ τὸ χαρακτηρίζον τινὸς ἀνθρώπου πρόσωπον. ἢ τὸ πρὸς ἕτερον ὁμοειδὲς κατ᾽ αὐτὸ ἐπιδεικνύον τὸ σημαινόμενον πρᾶγμα. Ἰδίωμά ἐστι τὸ

σημαντικὸν πάσης οὐσίας σχήματι καὶ πράγματι. Ἰδίωμα τῆς θείας φύσεως τῆς ἁγίας τριάδος τὸ ἄκτιστον, τὸ ἄναρχον, τὸ ἀπέρατον, τὸ ἀσώματον, τὸ ἀόριστον, τὸ ἀόρατον. Ἰδίωμα τῆς θείας φύσεως παρὰ τὴν
ι.1090 φύσιν τῶν ἀγγέλων τὸ δημιουργικόν· τὸ φωτιστικὸν φύσει· τὸ ἄτρεπτον· τὸ ἀπερίγραπτον· τὸ ἀχώριστον· τὸ ἀόριστον· τὸ ἀπερινόητον· τὸ ἀνενδεὲς καὶ αὐτοκρατές· τὸ ζωοδοτικόν· τὸ παντοδύναμον· ἅτινα οὐδ᾽ ἐν τῇ ἀγγελικῇ τάξει φαίνεσθαι τῶν ἐνδεχομένων ἐστίν. Ἰδίωμα τῆς ἀγγελικῆς φύσεως ἐστὶ τὸ ἀπαθὲς τῆς οὐσίας. καὶ ὑμνολογικὸν ἀσίγητον. ἀπαθὲς δὲ τὸ ἀθάνατον αὐτῶν εἶπον. Ἰδίωμα τῆς ἀγγελικῆς φύσεως παρὰ τὴν ἀνθρωπίνην τὸ ἀθάνατον, τὸ ἀόρατον, τὸ ἀνενδεὲς ὕλῃ, τὸ ἀσώματον ὡς πρὸς τὸ σῶμα· ἅτινα εἰλήφασι παρὰ τοῦ δωρησαμένου θεοῦ. Ἰδιώματα τῆς ἀνθρωπίνης φύσεως τὰ χωρίζοντα αὐτὴν τῶν λοιπῶν οὐσιῶν, λέγω δὲ τῶν ἀλόγων, τὸ λογικὸν, τὸ διανοητικὸν, τὸ τῆς ψυχῆς ἀΐδιον, τὸ αὐτεξούσιον, τὸ ὀρθοπεριπατητικόν. πρὸς θεὸν καὶ ἀγγέλους τὸ τῆς τροφῆς ἐνδεὲς, τὸ περίγραπτον, τὸ βαρὺ τοῦ σώματος. εἰσὶ δὲ ἰδιώματα φυσικὰ, ἃ προεῖπον. καὶ εἰσὶν ὑποστατικὰ, οἷον ἀσπρότης, σιμότης, γοργότης, νωθρότης καὶ τὰ ὅμοια. ἅπερ οὐκ ἐν πᾶσιν ἀνθρώποις εὑρίσκεται. οὐ γὰρ πάντες σιμοὶ, οὐ πάντες γλαυκοὶ, διόπερ καί τινες ὑπόστασιν εἶναι λέγουσι τὴν συνδρομὴν τὴν ἰδιάζουσαν τῶν χαρακτηριστικῶν ἰδιωμάτων, ὧν προεῖπον. τὰ δὲ φυσικὰ ἰδιώματα ἐξίσου ἐν παντὶ τῷ γένει ὁμοίως εὑρίσκονται. οἷον· πάντες ἄνθρωποι βροτοί. ὁμοίως εἰσὶ θνητοί· λογικοί· ἀναπνευστικοί· περιπατητικοί· ὑπνωτικοί· πλατυόνυχες· γεωργητικοί· τεχνῶν τεχνῖται. Ἰδίωμα ἐνεργείας ἐστὶν ὁ διὰ τοῦ πλάσματος σχηματισμός. ὃ οὐκ ἐνεργεῖ καθαρῶς, ἀλλὰ καὶ ἐνέργημά ἐστι καὶ γνωρίζεται. ζήτει περὶ τούτου εἰς τὸ, τί ἐστιν ἐνέργεια. Ἰδίωμα ψυχῆς ἐστὶ τὸ ἀθάνατον· τὸ λογικόν· τὸ θελητικόν. Ἰδίωμα τῆς ἀνθρωπίνης φύσεως τὸ σύνθετον ἐκ ψυχῆς
ι.1091 ἀσωμάτου καὶ σώματος ὁρωμένου· τὸ γελαστικόν.

— Ῥῆμα. —

Ἰδίειν. ἱδροῦν, κοπιᾷν. Ἰδίῃς. ἱδρώσῃς. Ἀριστοφάνης·
μή μοι σοβαρῶς χώρει, πρὶν ἂν ἰδίῃς.
Ἰδίω. τὸ κοπιῶ καὶ ἱδρῶ. ἀπὸ τοῦ ὕδωρ γέγονεν ὑδρῶ καὶ ἱδρῶ κατὰ τροπὴν τοῦ υ εἰς ι. ἐκ τούτου γίνεται ἱδρίω κατὰ πλεονασμὸν τοῦ ι. τὸ γὰρ

ι πέφυκε πλεονάζειν ἐν τοῖς ῥήμασιν. εἶτα κατὰ ἀποβολὴν τοῦ ρ ἰδίω. Ἰδιοπραγεῖ. τὰ ἴδια πράττει, ἡσυχάζει. Ἴδμεν. ἀντὶ τοῦ οἴδαμεν. ἀπὸ τοῦ οἴδαμεν κατὰ συγκοπὴν καὶ ἀφαίρεσιν τοῦ ο ἴδμεν. ὁ δεύτερος ἀόριστος τοῦ εἴδω ῥήματος ἐστὶν ἴδον, καὶ τὸ πρῶτον τῶν πληθυντικῶν ἴδομεν, καὶ κατὰ συγκοπὴν ἴδμεν. Ἰδνωθείς. καμφθεὶς εἰς τοὐπίσω. παρὰ τὸ ἴζω ἰδνῶ, καὶ ἐξ αὐτοῦ ἰδνωθείς. Ἴδῃς. ἀντὶ τοῦ εὕρῃς. ὡς· ὅταν ἴδῃς τὰ ἀγαθὰ, Ἱερουσαλήμ. Ἱδρυμένος. τεθεμελιωμένος. Ἱδρύσαντο. ἐκάθισαν. Ἵδρυται. πεπαγίωται. Ἱδρύω. ἀπὸ τοῦ ἵζω ἱδρῶ, ἱδρύω. Ἱδρίω. ἱδρῶ. καὶ
ι.1092 ἱδροῦντας καὶ ἱδρώοντας. Ἴδοσαν. ὡς τό· ἴδοσάν σε ὕδατα, ὁ θεός. ἀόριστος ἐστὶ δεύτερος καὶ γράφεται διὰ τοῦ ι. Ἰδέ. ἀντὶ τοῦ βλέψον. εἶδε δὲ ἀντὶ τοῦ ἐθεάσατο, δίφθογγον. Ἴδε. ἀντὶ τοῦ ἰδοῦ. Ἰδέ. σύνδεσμος. ὅ ἐστι ἀντὶ τοῦ καί. γράφεται καὶ ἦτα. Ἰδέρως. ὁ ἅμα τῷ ἰδεῖν ἐρῶν.

Τὸ Ι μετὰ τοῦ Ε. — Ἀρσενικόν. —

Ἰεμενεί. κύριον. Ἱερομύστης. ὁ διδαχθεὶς τὰ ἱερὰ μυστήρια. Ἱεροφάντης. μυσταγωγὸς θείων λογίων. Ἱερόσυλος. κλοπεὺς τῶν ἱερῶν. Ἱερῆας. τοὺς ἱερεῖς. Ἱερεύς. ὁ τὰς θυσίας προπέμπων τῷ θεῷ. παρὰ τὸ ἵημι. ἢ ὁ λογικὰς θυσίας ἐν καρδίᾳ ἀναφέρειν ἐπιστάμενος. Ἱεροβάαλ. οὕτως ἐκαλεῖτο ὁ Γεδεὼν διὰ τὸ καταβαλεῖν τὸ ἱερὸν τοῦ Βάαλ. Ἱερομνήμονες. οἱ πεμπόμενος εἰς τὸ τῶν Ἀμφυκτυόνων συνέδριον ἐξ ἑκάστης πόλεως τῶν
ι.1093 τοῦ συνεδρίου μετεχουσῶν οὕτω καλοῦνται. ἢ οἱ εἰς Πυλαίαν ἐκπεμπόμενοι γραμματεῖς. παρὰ τὸ μνημονεύειν τῶν ἱερῶν. Ἱερολόγος. ὁ ψάλτης. Ἱερείτης. ὁ ἱερεύς. Ἱεροφώνων. μεγαλοφώνων. τὸ γὰρ μέγα ἱερὸν ἔλεγον οἱ παλαιοί. Ἰεχονίας. κύριον. Ἰεβοῦς. πεπλανημένος, κατησχυμμένος. καὶ ὁ Θεολόγος· ὃν Ἰεβοῦς πρότερον ὄντα Ἱερουσαλὴμ πεποιήκαμεν.

— Θηλυκόν. —

Ἱερομηνία. ἱερὰ ἑορτὴ κατὰ μῆνα. Ἱερολογία. ἡ θεία ψαλμῳδία, ἢ ἡ θεία λειτουργία. Ἱερήν. μεγάλην. Ἱεράν. ἁγίαν. Ἱερὰ τριήρης. ἡ πάραλος. Ἱερουσαλήμ. Σαλὴμ ἐλέγετο πρότερον, ἐλθόντος δὲ Χριστοῦ ἐν αὐτῇ, ἐκλήθη Ἱερουσαλήμ. ἑρμηνεύεται δὲ ὅρασις εἰρήνης.

— Οὐδέτερον. —

ι.1094 Ἱερόν. ναὸς ἅγιος. Ἱερὸν ὀστοῦν. τὸ ἄκρον τῆς ὀσφύος. ὅτι μέγα ἐστί. τὸ μέγα ἱερὸν ἔλεγον οἱ παλαιοί. Ἱερεῖον. σφάγιον, θῦμα. Ἱεριχούντια τείχη,

ι. Σεμιράμεια δὲ, δίφθογγον. Ἱερόντιον. ὄνομα πόλεως. Ἱερὸν ἡ συμβουλή. παροιμία ἐπὶ τῶν δεινῶν συμβουλεύειν. Ἱερῷ. θείῳ, ἢ μεγάλῳ.

— Ῥῆμα. —

Ἱέμενοι. ἐπιθυμοῦντες. προθυμούμενοι. Ἰέμην. ἐπορευόμην.
εὐθὺς γὰρ αὐτοῦ κατόπιν ἐνθένδ' ἰέμην.
Ἰέναι. ἐλθεῖν. καὶ ἀντὶ τοῦ ἀνθεῖν. ἴονθος γὰρ ἡ πρώτη ἔκφυσις τῶν τριχῶν. Ἵενται. ὁρμῶσιν. οἱ δὲ γευσάμενοι τῆς νίκης τέλειον ἵενται κρατῆσαι. Ἴει. ἀντὶ τοῦ πέμπει, καὶ ἀφίησιν. ὁ δὲ ἴει ἑαυτὸν εἰς τὸ ὕδωρ ψυχρὸν, φάσκων γῆρας ἀνθρώπων εἶναι τὰ βαλανεῖα. Ἱέντες. ἀφιέντες. οὗτοι εἰσὶν οἱ τὴν βοὴν τὴν βαρεῖαν ἱέντες ἡμῖν ἐν ταῖς μάχαις. Ἵενται.
ι.1095 ἀφίενται. Ἰέναι. πορευθῆναι. Ἱερουργεῖ. θύει. Ἱερᾶσθαι. ἱερουργεῖν, ἁγιάζειν. Ἱερῶσθαι. τὸ ἱερεὺς νενομίσθαι. καὶ οἷον καθιερῶσθαι. Ἱεράτω. κατὰ νόμον ὀργιαζέτω, θυέτω. ὀργεῶνες γὰρ οἱ θῦται. Ἱέσθην. προεθυμοῦντο, ἢ ἐπορεύοντο. Ἴετο. ἐπορεύετο. Ἵεται. προθυμεῖται. πορεύεται. Ἱέντες. ἀκοντίζοντες. Ὅμηρος·
δίσκοισι τέρποντο καὶ αἰγανέῃσιν ἱέντες.

Τὸ Ι μετὰ τοῦ Ζ. — Ἀρσενικόν. —

Ἰζηματίας. ἄνεμος, καὶ ὁ κεραυνὸς, ἢ εἶδος σεισμοῦ.

— Ῥῆμα. —

ι.1096 Ἰζάνω. κάθημαι. Ἵζει. καθίζει. Ἰζήσας. καθίσας.

Τὸ Ι μετὰ τοῦ Η. — Ἀρσενικόν. —

Ἰήιος. τοξότης. λέγει τὸν Ἀπόλλωνα. Ὅμηρος·
ἰήιε Φοῖβε.
Ἰηιοῦ. βασιλεὺς Σαμαρείας, ὃς ἀνεῖλεν Ἰεσάβελ καὶ τοὺς υἱοὺς Ἀχαὰβ κατὰ τὸ ῥῆμα Ἠλίου τοῦ προφήτου. Ἰησοῦς. ὄνομα τῆς ἐνανθρωπήσεως. δηλοῖ δὲ τὸν σωτῆρα μεθερμηνευόμενον τῇ Ἑβραΐδι διαλέκτῳ. Ἰητήρ. ὁ ἰατρός.

— Θηλυκόν. —

Ἰῇ. μιᾷ. Ἰῇ. φωνῇ.

— Οὐδέτερον. —

Ἵημα. τὸ ἀκόντιον.

— Ῥῆμα. —

Ἴῃ. ἀντὶ τοῦ ἔλθῃ. ἐπὶ μέλλοντος. Ἴηλα. ἐδέσμευσα. καὶ ἰῆλαι ἀντὶ τοῦ ἐπικάμψαι ἢ κατακλεῖσαι. ἀπὸ τοῦ εἰλῶ καὶ ἐν ὑπερθέσει ἰέλω καὶ ἰῆλαι.

ι.1097 Ἰηλεμῆσαι. θρηνῆσαι. καὶ ἰηλεμῆσθαι ἀντὶ τοῦ θρηνῆσθαι. Ἴησιν. ἀφίησιν. σχίζων τὶς ξύλα ὡς εἶδε τὸν Κλέαρχον προσιόντα, ἴησι τὴν ἀξίνην. οὕτως Ξενοφῶν. καὶ ἴησιν ἀντὶ τοῦ ἀπέλθοι.

κεῖνον μὲν ἐάσωμεν, ἦ κεν ἴησιν.

Ἴημι. τὸ πέμπω καὶ τὸ πορεύομαι. οἷον·

ἄστυδ' ἰέμενος.

Τὸ Ι μετὰ τοῦ Θ. — Ἀρσενικόν. —

Ἰθαγενής. γνήσιος. αὐτόχθων, ἐνταῦθα γεννηθείς. ὁ ἰθὺ καὶ ἀδιάστροφον ἔχων τὸ γένος. καὶ ἰθαιγενής. Ἰθακήσιος. ἀπὸ Ἰθάκης χώρας. Ἴθακος. κύριον. Ἰθαιμένεος· Ἰθάμαρ. κύρια. Ἴθρις. ὁ ἐκτομίας. ἀπὸ τοῦ θερίζω,

ι.1098 θερίσω, θερὶς καὶ θρὶς, καὶ κατὰ πλεονασμὸν τοῦ ι ἴθρις. Ἰθυντῆρες. ὁδηγοὶ, κυβερνῆται, χαλινοὶ, πηδάλια. Ἰθωμίτης. ἀπὸ Ἰθώμης πόλεως. Ἰθύφαλλοι. οἱ ἔφοροι Διονύσου. οἱ τοὺς ἰθυφάλλους ἐν τῇ ὀρχήστρᾳ ὀρχούμενοι. κυρίως δὲ ἰθύφαλλον τὸ ἐντεταμμένον αἰδοῖον.

— Θηλυκόν. —

Ἰθάκη. χώρα. Ἰθάμαρ. κύριον. Ἰθεῖα. εὐθεῖα, ὀρθή.

οὐ γὰρ ἀφαυρῶς

ἐκ Διὸς ἰθείης οἶδε τάλαντα δίκης.

Ἴθμη. ἡ τρίβος. Ἰθύτης. εὐθύτης. Ἰθώμη. πόλις.

— Οὐδέτερον. —

Ἴθματα. ἴχνη· βήματα· βαδίσματα· δικαιώματα· ὁρμάς. παρὰ τὸ εἶμι, τὸ

ι.1099 πορεύομαι, γίνεται ῥῆμα ὄνομα ἴμα, ὡς τίθημι, θέμα, καὶ πλεονασμῷ τοῦ θ, ἴθμα.

—ἴθμαθ' ὁμοῖαι.

Ἴθμενον. περιστόμιον. στεφάνη. Ἰθμηρόν. καθαρόν. Ἰθυντήριον. τὸ κανονίζον καὶ ἰσότητα παρέχον. Ἰθυτενές. τὸ εἰς εὐθὺ τεταμένον. Ἴθι. ἐλθὲ, ἔρχου, πορεύου.

ἴθ', ἀντιβολῶ σε.

εἶμι τὸ πορεύομαι. τὸ πρῶτον τῶν πληθυντικῶν, ἴμεν. τὸ προστακτικὸν, ἴθι. δηλοῖ δὲ καὶ τὸ ἐλθὲ, καὶ παραγενοῦ. ὡς ἐν τῷ·

δεῦρ᾽ ἴθι, ἵνα θέσκελα ἔργα—.

᾽Ιθύνειν. κυβερνᾶν. παρὰ τὸ ἰθὺς, ἰθύνω. Ἴθυσεν. ἐπ᾽ εὐθείας ὥρμησε. καὶ ἴθυσαν. ἀπὸ τοῦ ἰθὺς, ἰθύνω. ᾽Ιθέως. ἀντὶ τοῦ ὀρθῶς.

Τὸ Ι μετὰ τοῦ Κ. — Ἀρσενικόν. —

ι.1100 Ἴκαρος καὶ ᾽Ικάριος. κύρια. παρὰ τὸ ἱκέσθαι πρὸς τὸν ἀέρα. ᾽Ικαριεύς. δῆμος φυλῆς τῆς Αἰγηΐδος. Ἴκελος. ὁ ὅμοιος. παρὰ τὸ εἴκω, τὸ ὁμοιῶ. τὸ εἴκελος διφορεῖται. Ἱκέσιος. ἀντὶ τοῦ ἱκετήσιος. Ἱκέται. παρακλήτορες. ᾽Ικμαλέος. δίυγρος. Ἴκμενον. πορευτικόν. ἴκμενον ἄνεμον. ᾽Ικονιαῖος. ἀπὸ τόπου. Ἱκέτης. πρόσφυξ. Ἴκτερος. νόσημα ὠχροποιόν. Ἴκτινα. εἶδος ὀρνέου ἁρπακτικοῦ, ἐν ἔαρι φαινομένου. μεταπλασμός ἐστιν. ἴκτινον γὰρ λέγεται ἡ αἰτιατικὴ, καὶ ὀρθὴ ὁ ἴκτινος. Σοφοκλῆς·

ἴκτινος ἔκραξε παρασύρας κρέας.

εἰρήκαμεν δὲ, ὅτι μεταπλασμός ἐστιν ὥσπερ ἁλίτροχον ἁλίτροχα. γέγονε δὲ παρὰ τὸ ἑαυτὸν ἐκτείνειν πανταχοῦ. ἔστι καὶ ἰκτὶν καὶ ἴκτις ἴκτιδος, εἶδος ζώου, ὡς οἱ κάστορες, ἢ ἔνυδρόν ἐστιν ἰχθυοφάγον. καὶ ἰκτιδέα τὸ
ι.1101 τοῦ αἰλούρου δέρμα. Ἴκτερος. ἀπὸ χολῆς ξανθῆς γίνεται, ἥτις πλεονάσασα καὶ πυρωθεῖσα εἰς τὴν ἐπιφάνειαν ἐξωθεῖται καὶ ἀναχέεται, κἀντεῦθεν τῷ ἰκτεριῶντι ὠχρίασις.

— Θηλυκόν. —

Ἱκανότης. ἰσχὺς, δύναμις. Ἱκετηρία. παράκλησις, ἣν οἱ δεόμενοι κατατίθενταί που ἢ μετὰ χεῖρας ἔχουσιν. Ἱκετεία. ἣν ποιεῖται τὶς διὰ λόγων. Ἱκεσία. ἡ ἱκέτευσις. ᾽Ικμάς. ἡ ὑγρασία. παρὰ τὸ ἵκω ἱκμὰς, ὅθεν καὶ ἴκμενον οὖρον. παρὰ τὸ ἱκνεῖσθαι. ἢ παρὰ τὴν ἱκμάδα. ᾽Ικόνιον. ὄνομα πόλεως. ᾽Ικρίον. τὸ ὀρθὸν ξύλον, ἢ ὁ σταυρὸς, ἢ ἡ φούλκα, ἢ σανιδώματα τῆς νηὸς, καὶ τὰ τῶν θεάτρων, ἃ ἦσαν ἐν ταῖς ἐκκλησίαις. ἐπὶ ξύλων γὰρ ἐκάθηντο, πρὶν γένηται τὸ θεάτρον· ξύλα γὰρ ἐδέσμευον καὶ οὕτως ἐθεώρουν. τινὲς ἴκρια γράφουσιν. εἴρηται δὲ παρὰ τὸ εἰς ὕψος ἵκειν, οἷον ἱκάρια τινὰ ὄντα, ἢ διὰ τὸ αὐτῶν ἱκνεῖσθαι καὶ ἀναβαίνειν.
ι.1102 Ἴκταρ. τοῦ Ψελλοῦ· ἴκταρ ἐστὶ τὸ σύντομον, ἵππερως, ἵππων ἔρως. γράφεται καὶ δρόμος.

— Ῥῆμα. —

῾Ικάνω. τὸ ἱκετεύω.
ἡμεῖς δ᾽ αὖθ᾽ ἱκάνομεν τὰ σὰ γούνατα—
καὶ τὸ παραγίνομαι, καὶ τὸ καταλαμβάνω.
—ἦ μέγα πένθος Ἀχαΐδα γαῖαν ἱκάνει.
῞Ικετο. παρεγένετο. ῾Ικέσθην. παρεγένοντο. ῾Ικνοῦμαι. ἔρχομαι, ἱκετεύω. καὶ ἱκνούμενος ἀντὶ τοῦ καμπτόμενος. ῞Ικτο. ἦλθεν.

— Ἐπίρρημα. —

῾Ικανῶς. ἀρκούντως. ῞Ικαρ. πάνυ. ῞Ικταρ. πλησίον, ἐγγύς. εἴρηται δὲ παρὰ τὸ ἐφικνεῖσθαι. καὶ παροιμία· οὐδ᾽ ἴκταρ βάλλει.

Τὸ Ι μετὰ τοῦ Λ. — Ἀρσενικόν. —

῞Ιλαος. εὐμενὴς, πρᾷος. ἵλεως δὲ μέγα. ῾Ιλαρός. εὐχαρὴς, ἀστεῖος.
ι.1103 Ἱλάρχας. ταξιάρχας. ῾Ιλασμός. εὐμένεια, πρᾳότης, συγχώρησις, ἢ διαλλαγή. Ἱλεύς. ὄνομα κύριον. Ἱλεός. ὁ φωλεός· ἡ κατάδυσις τοῦ ὄφεως. σημαίνει καὶ ὄνομα νόσου περὶ τοὺς ἵππους γινομένης. Ἰλλεδανοί. οἱ δεσμοί. Ἰλιβηνοί. ἔθνος. Ἰλισσός. ὄνομα τόπου, καὶ ποταμός. ῞Ιλλος. κύριον. ἵλλος καὶ ὁ ὀφθαλμός. ἵλλον, στρεβλὸν, στραβὸν, ἢ τυφλόν. Ἀριστοφάνης·
ἵλλος γεγένημαι, ὅδ᾽ οὐδέπω.
Ἰλλυριοί. βάρβαροι. Θρᾳκικοί. οἶμαι δὲ, τοὺς Βουλγάρους λέγει. Ἀριστοφάνης·
Ἰλλυριοὶ κεκριγότες.
ι.1104 ἀντὶ τοῦ ποιὰν φωνὴν ἀποτελοῦντες.

— Θηλυκόν. —

Ἰλλάδες. δεσμοὶ, σχοινία. ἀπὸ τοῦ εἰλεῖσθαι ἐξ ἱμάντος.
ἰλλάσειν οὐκ ἐθέλοντα.
῞Ιλη. σύστημα, συστροφή. τάξις ὄχλου ἱππικοῦ. κυρίως δὲ, φατρία. τότε δὲ ἵλη τῶν καταφράκτων ἱππέων ὑπὲρ τοὺς τριακοσίους ἐς τοὺς ὀπισθοφύλακας κατερράγη. ἢ ἵλη ἱππέων ἑξηκοντατεσσάρων. ἢ ἵλη ἡ ἄθροισις καὶ τὸ πλῆθος. παρὰ τὸ ὁμοῦ εἱλεῖσθαι γέγονεν ἵλη διὰ τοῦ ι. πολλὰ γὰρ εἰσὶν ὀνόματα ἀπὸ ῥημάτων. οὕτως οὖν ἵλη ἀπὸ τοῦ εἱλῶ. Ἰλιάς. ποίημα ῾Ομήρου. καὶ Ἰλιὰς κακῶν ἐπὶ τῶν μεγάλων κακῶν. καὶ Ἰλιὰς τὸ πλῆθος. ῞Ιλιος. ἡ Τροία. Δωρικῶς.
—῞Ιλιον ἱρήν.

ι.1105 Ἰλίη. ἡ Ἀθηνᾶ. Ἰλύς. ὁ βόρβορος, ἢ ὁ πηλώδης καὶ κάθυγρος τόπος, ἤγουν ὑπόστασις τῶν ὑδάτων. ἀπὸ τοῦ ἕλος, ἑλύω καὶ εἰλύω. ὡς ἀπὸ τοῦ πείθω πιθανὸς, οὕτως ἀπὸ τοῦ εἰλύω ἰλύς.

— Οὐδέτερον. —

Ἱλαστήριον. θυσιαστήριον. Ἱλαρώτερον. εὐπροσιτώτερον. Ἱλεωτήριον. θυσιαστήριον. Ἴλιον. ἡ τῆς Φρυγίας πόλις ἢ ἡ Τροία. εἰ δέ που εὑρεθείη θηλυκὸν, Δωρικῶς εὑρίσκεται, καὶ οὐκ ἐν ἰάμβῳ, ἀλλ᾽ ἐν στίχῳ. οἷον· Ἴλιον ἱρήν. οὕτω Χοιροβοσκός. Ἱλαστήριον. ὡσανεὶ τράπεζά τις τετράγωνος χρυσῆ. Ἀπόστολος· κατασκιάζοντα τὸ ἱλαστήριον.

— Ῥῆμα. —

Ἱλάσκω. τὸ εὐμενίζω. καὶ ἱλάσκεσθαι ἀπὸ τοῦ ἱλῶ δευτέρες συζυγίας τῶν περισπωμένων. ὁ μέλλων ἱλάσω, πλεονασμῷ τοῦ κ ἱλάσκω, καὶ μετάγεται εἰς ἐνεστῶτα. καὶ γίνεται ἱλάσκω, τὸ παθητικὸν ἱλάσκομαι, τὸ τρίτον ἱλάσκεται, καὶ τὸ ἀπαρέμφατον ἱλάσκεσθαι. Ἵλαος. ἵλεος ἔσο.

ι.1106 Ἱλάσθητι. ἵλεώς μοι γενοῦ. Ἱλήκοις. ἵλεως καὶ εὐμενὴς γενοῦ. Ἴλλει. συνέχει. Ἰλλίζειν. τὸ διανεύειν.

οὐκ ἀΐεις, ὅτι δή μοι ἐπιλλίζουσιν Ἀχαιοί.

ἴλλοι γὰρ οἱ ὀφθαλμοί. ἀπὸ τῆς εἰλήσεως καὶ τῆς ἐπὶ τὰ κάτω φορᾶς. Ἰλιγγιᾷ. ὅταν περὶ τὴν καρδίαν στρόφος γένηται, ἐπακολουθεῖ σκότος· καὶ τοῦτο καλοῦσι τὸ πάθος ἴλιγγον. ἰστέον, ὅτι εἰλιγγιῶ διὰ διφθόγγου, ἴλιγγος δὲ διὰ τοῦ ι. Ἰλλόμενος. δεσμευόμενος. ἢ ἰλλόμενος ἀντὶ τοῦ παρατηρῶν.

—ὁ δ᾽ ἰλλόμενος περὶ ὁμίλῳ.

περὶ λέοντος φησὶν, ὅτι τρωθεὶς ὁ λέων μόνον τὸν τρώσαντα παρατηρεῖ. Ἰλυσπώμενος. ἐν βορβόρῳ κυλιόμενος. καὶ ἰλυσπᾶσθαι, ἐν τῇ ἰλύι σπᾶσθαι, ἤγουν ἐν τῇ ἰλύι κυλίεσθαι. Ἰλλούμενος. δεσμούμενος. τοῦ Ψελλοῦ· ἰλλούμενος δεσμούμενος, ἰλλίζειν διανεύειν. Ἰλαδόν. ἐν ἀθροίσει. κατὰ τάξιν σημαίνει. καὶ τὸ δασύ. παρὰ τὸ ἴλη, ὃ σημαίνει τὴν

ι.1107 ἄθροισιν, γέγονεν ἰλαδὸν, ἤτοι ὁμοῦ.

Τὸ Ι μετὰ τοῦ Μ. — Ἀρσενικόν. —

Ἱματισμός. ἡ ἐσθής. καὶ ἱματισμένος ὁ ἐνδεδυμένος. ἱματισμένον καὶ σωφρονοῦντα. Ἱμαῖος. ὁ ἀντλητής. Ἴμβρος. ποταμός. Ἴμβρως δὲ κύριον, μέγα, καὶ κλίνεται Ἴμβρωτος. Ἴμβρος καὶ Τένεδος, νῆσοι πλησίον Τροίας

κείμεναι. Ἱμερόεις. ὁ ἐπιθυμητικός. Ἵμερος. ἡ ἐπιθυμία. παρὰ τὸ ἵημι, τὸ προθυμοῦμαι, γέγονεν ἵμερος. ἐξ οὗ καὶ τό·

ἵετο βαλέειν.

Ἱμερόεντα. ἐράσμιον, λάμποντα. Ἱμάς. ὁ λῶρος. πείσει σε ὁ ἱμάς.

— Θηλυκόν. —

Ἱμάντωσις. σύνδεσμος ξύλων ἐμβαλλομένων ἐν ταῖς οἰκοδομαῖς ἢ καὶ ἐν
ι.1108 τοῖς πλοίοις. Ἱμάσθλην. μάστιγα.

—κώπην θ' ἅμα, νηὸς ἱμάσθλην.

Ἱμέρα. πόλις. καὶ Ἱμεραῖος καὶ Ἱμερία, κύρια. Ἱμεραία. γραῦς τις. καὶ πόλις. Ἱμονιά. τὸ ἀντλητήριον ἢ δέρμα, εἰς ὃ ἀντλοῦσι τὸ ὕδωρ. παρὰ τὸ ἱμὰς, ἱμάντος, ἱμονιὰ, καὶ ἱμαῖος ὁ ἀντλητής. Ἱματίδιον. ὥσπερ ἀπὸ τοῦ ὀψάριον ὀψαρίδιον, οὕτω καὶ ἀπὸ τοῦ ἱμάτιον ἱματίδιον. Ἱμερτόν. ἐπιθυμητόν. Ἱμητόν. ἀντλητόν. καὶ ἱμαῖον, ᾆσμα. Ἱμόνιον. τὸ γεράνιον. Ἵμασεν. ἐμάστιξεν. Ἱματισμένος. ἐνδεδυμένος ἱμάτιον. Ἱμάσσω. πλήξω.
ι.1109 πατάξω. μὴ τρέψῃς τὸ ς εἰς ξ. σεσημείωται γάρ. Ἱμᾶν. ἀντλεῖν. ἀνέλκειν, ἀνασπᾶν. καὶ ἱμεῖν. Ἱμείρω. τὸ ἐπιθυμῶ. Ἱμῶσα. ἀντλῶσα. ἀπὸ τοῦ ἱμάντος, ᾧ τοὺς κάδους ἐγέμιζον.

Τὸ Ι μετὰ τοῦ Ν. — Ἀρσενικόν. —

Ἰνάρωνος. κύριον. Ἴνδακος. κύριον. Ἰνδοί. ἔθνος βάρβαρον. Ἴνις. παῖς νέος, βρέφος. παρὰ τὸ ἶς ἰνὸς, ἴνις· δύναμις γὰρ τῶν πατέρων υἱοί. ἢ παρὰ τὸ ἰαίνειν καὶ εὐφραίνειν τοὺς πατέρας. Ἰννοί. οἱ κολοβοὶ τῶν ἵππων. νάννοι δὲ καὶ ναννοφυεῖς οἱ κολοβοὶ τῶν ἀνθρώπων. Ἴναχος. ὄνομα ποταμοῦ. Ἰνωπός. ὄνομα ποταμοῦ. παρὰ τὸ ἶς ἰνὸς, ὃ σημαίνει τὴν δύναμιν, καὶ τοῦ ὀπὸς, ὃ σημαίνει τὴν φωνὴν, γέγονεν Ἰνωπὸς κατ'
ι.1110 ἔκτασιν τοῦ ο εἰς ω μέγα. Ἴνωψ. κύριον. ἤνοψ δὲ ὁ μέγας, η καὶ μικρόν.

— Θηλυκόν. —

Ἰνγρουσία. παρὰ Ῥωμαίοις τοῖς ἀσθενέσι διδόμενον σιτίον, ὃ οὔτε ζῇν οὔτε ἀποθνήσκειν ποιεῖ. Ἰνδικτίων. λέγεται καὶ ἴνδικτος. Ἶνες. δυνάμεις ἢ νεῦρα. καὶ κλίνεται ἡ ἶν, τῆς ἰνὸς, αἱ ἶνες. τὰ γὰρ νεῦρα αἴτια τοῦ ἰέναι. ἢ παρὰ τὸ ἶς, ὃ σημαίνει τὴν δύναμιν, γίνεται ἶνες τὸ πληθυντικόν. Ἴνις. χώρα. Ἶνα. τὴν δύναμιν. καὶ Ἴνα ὄνομα πόλεως. Ἰνώ. ὄνομα θεᾶς. Ἴνδαλμα. φαντασία, ὄναρ, ὁμοίωμα. παρὰ τὸ εἴδω, τὸ ὁμοιῶ, εἰδάλλω καὶ ἀποβολῇ τοῦ ε καὶ πλεονασμῷ τοῦ ν, ἴνδαλμα. Ἰνίον. νεῦρον, ἀπὸ τῆς τοῦ

ἐγκεφάλου βάσεως ἐπὶ τὰ πλατέα νεῦρα, ἃ τὴν ἰσχὺν ἡμῶν ἔχειν δοκεῖ.
ὡς παρὰ τὸ σφὴξ, σφηκὸς, σφηκίον, οὕτως καὶ παρὰ τὸ ἶς, ἰνὸς, ἰνίον.
Ἰνάχειον ἄστυ. τὸ τοῦ Ἰνάχου. Ἰνάσσω. ἰσχὺν παρέχω. Ἰνδάλλεται.
ι.1111 καταφαίνεται. ὁμοιοῦται. Ἰνατί. διατί, ἢ ἕνεκα τίνος. Ἵνα. ὅπου. ἢ ὅπως.
καὶ ἀντὶ τοῦ ἄν. Ὅμηρος·
—ἵνα μὴ ῥέξωμεν ὧδε.

Τὸ Ι μετὰ τοῦ Ξ. — Ἀρσενικόν. —

Ἰξάλου. τελείου, ὁρμητικοῦ ἢ πηδητικοῦ. παρὰ τὸν ἴξω μέλλοντα γέγονεν ἴξαλος. δεῖ δὲ γινώσκειν, ὅτι πολλάκις τὰ παράγωγα ἀλλάσσουσι τὰ πνεύματα, καὶ ἀπὸ δασέων γίνεται ψιλά. οἷον ἅμα ἄμυδις, ἥλιος ἀπηλιώτης ἄνεμος. οὕτως ἴξω ἴξαλος. Ἰξευτὴς, ἰξευτικὸς καὶ ἰξός. παρὰ τὸ ἵκω, ἴξω, ἰξίος. ἢ παρὰ τὸ ἄγειν τὰ ὄρνεα. Ἰξίων. καὶ κλίνεται Ἰξίωνος. οὗτος ἠράσθη τῆς Ἥρας, ὠργίσθη δὲ παρὰ τοῦ Διός. Ἰξιονίδης. Ἰξυρός. ποταμός. Ἰξάλου. πηδητικῆς.
—ἰξάλου αἰγός.
Ἰξύς. ἡ ὀσφὺς, ὃ τὸ ἰσχίον. ἀξὺς τὶς οὖσα, ἣν οὐχ οἷόν τε ξύσαι καὶ κνήσασθαι.
ἔκρεκες εὐτάρσοιο δι᾽ ἰξύος ἀχέτα μολπὰν
τέττιξ οἰονόμοις τερπνότερον χέλυος.
ι.1112 Ἰξιόεν. θανάσιμον φάρμακον. ὠνόμασται δὲ οὕτως, ἐπειδὴ τὰς ἐντὸς τροφὰς κατέχει, ὡς ἰξὸς, ὀδμὴν ἔχων παραπλησίαν ὠκίμῳ.
ἰξιόεν δέ σε μή τι δόλῳ παρὰ χείλεσι πόμα
οὐλοφόνον λήσειεν ὅτ᾽ ὠκιμοειδὴς ὄδωδε.
τὸ ἐπίγραμμα Νικάνδρου. Ἶξε καὶ ἶξον. ἀντὶ τοῦ παρεγένοντο.
οἱ δ᾽ ἶξον κοίλην Λακεδαίμονα κητώεσσαν.
ἀπὸ τοῦ ἵκω ὁ δεύτερος ἀόριστος ἵκον, καὶ τροπῇ Βοιωτικῇ τοῦ κ εἰς ξ ἶξον. οὕτως Ἀπολλώνιος.

Τὸ Ι μετὰ τοῦ Ο. — Ἀρσενικόν. —

Ἰοβόλος. ὁ τῷ ἰῷ καὶ φαρμάκῳ βάλλων. ἰοβόλος ὄφις ἀθρόον ἀνέθορεν.
Ἰόβας· Ἰόβακχος· Ἰοβάτης· Ἰοβιανός. ὀνόματα κύρια. Ἰόδδας. κύριον.
Ἰόεντα. τὰ μέλανα.
ἰόεντα σίδηρον.

ὡς καί·
ἰοειδέα πόντον.

ι.1113 Ἰοθόρ. κύριον. οὗτος ἦν πενθερὸς τοῦ Μωϋσέως. Ἴονθος. ἡ πρώτη ἔκφυσις τῶν τριχῶν. ἀπὸ τοῦ ἰέναι καὶ ἀνθεῖν. Ἰορδάνης. ποταμός. ἐκλήθη δὲ Ἰορδάνης διὰ τὸ συμμίγνυσθαι δύο ἅμα ποταμοὺς, Ἴορ καὶ Δάνην. Ἰόρτιος. κύριον. Ἰόλαος. κύριον. καὶ Ἰόλεως. Ἴουλος. ἡ πρώτη τοῦ γενείου βλάστησις. καὶ ὁ ἐν ταῖς ἀμπέλοις σκώληξ. Ἰούδας. κύριον. ἐγένοντο τούτῳ τρεῖς παῖδες, ὁ Εἴρ, ὁ Ἀννὰν, καὶ ὁ Σηλώμ. ἑρμηνεύεται δὲ Ἰούδας ὁμολόγησις. Ἰός. τὸ βέλος. παρὰ γὰρ τὸν ἰὸν τοῦ ὄφεως γίνεται ἰὸς, τὸ βέλος. καὶ γὰρ ἔχριον τὰ βέλη ἀπὸ τοῦ ἰοῦ τοῦ ὄφεως, ἵνα τιτρωσκόμενος τὶς εὐθέως ἀναιρεθῇ. παρὰ τὸ ἰέναι ποιεῖν τοὺς τιτρωσκομένους εἰς ᾅδην. Ἰοδόκος καὶ ἰοδόκη. ἡ βελοθήκη. Ἰοκάστη· Ἰόλη. κύρια. Ἰόπη. δι᾽ ἑνὸς π καὶ ι. ἔστι δὲ πόλις Παλαιστίνης. συστέλλει

ι.1114 δὲ τὸ ι. εἴρηται δὲ Αἰθιοπία τις οὖσα· κατεῖχον γὰρ αὐτὴν Αἰθίοπες. οὕτως γὰρ εὗρον ἐγώ. Ἰότης. βουλή. γνώμη, φροντίς. ἀπὸ τοῦ ἰοῦ, τοῦ βέλους, ἤγουν ἀπὸ τοῦ ἴεσθαι καὶ εἰς πάντα ἰέναι.
ἀλλήλων ἰότητι—
καί·
μὴ δι᾽ ἐμὴν ἰότητα—.
Ἰουλόπεζοι. μεταφορικῶς. αἱ πολύκωποι νῆες. ἀπὸ τοῦ ἰούλου, τοῦ πολύποδος ζώου, τοῦ πολλοὺς καὶ πυκνοὺς ἔχοντος πόδας. ὁμοίως καὶ ἡ πρώτη ἐξάνθησις κατὰ τὰς παρειὰς ἴουλος λέγεται ἀπὸ ἰούλου ζώου. Ἰουδήθ. κύριον. Ἰοχέαιρα. Ἄρτεμις. ἡ τοῖς ἰοῖς χαίρουσα. ἢ παρὰ τὸ χέειν τοὺς ἰούς· ὅ ἐστι τὰ βέλει· τοξότης γάρ ἐστι. ἰοχέαιρα καὶ ἡ φαρέτρα ἡ ὑποδεχομένη τὰ βέλη. Ἰοστέφανοι. λιπαραί. Πίνδαρος·
ἰοστέφανοι Ἀθῆναι.

ι.1115 Ἰόνιον πέλαγος. ὁ νῦν Ἀδρίας. καὶ Ἰόνιος κόλπος. Ἴον. παρὰ τὸ ἀνιέναι ταχύ. Ἰορδάνεια ῥεῖθρα. δίφθογγον. ποτάμια δὲ νάματα, ι. Ἰοῦσαν. πορευομένην. Ἰού. ἀντὶ τοῦ οἴμοι καὶ φεῦ μοι. Ἰοῦ ἰοῦ. ἐπὶ χαρᾶς. περισπᾶται.

Τὸ Ι μετὰ τοῦ Π. — Ἀρσενικόν. —

Ἱππαλεκτρυόνος. εἶδος ζώου. Ἶπες. σκώληκες λυμαντικοὶ ξύλων καὶ καρπῶν. ὁ ἴψ, τοῦ ἰπός. Ἵππειος ζυγός. Ἱππημολγός. ὁ τοὺς ἵππους

ἀμέλγων. Ἱππίας καὶ Ἱππιόθων. ὀνόματα κύρια. Ἱππιοχάρμην. τὸν
ι.1116 χαίροντα τὴν ἱππικὴν, ἢ ἱππόμαχον. χάρμη γὰρ ἡ μάχη. Ἵπνος καὶ ἰπνός. ὁ φοῦρνος. κυρίως ἡ κάμινος. καταχρηστικῶς δὲ ἡ ἐσχάρα. ἢ τὸ μαγειρεῖον. ἢ καπνοδόκη. Ἱππόβοτος τόπος. ὁ μεγάλην γῆν ἔχων, δυνάμενος ἵππους τρέφειν. Ἱππόδαμοι. εἰς ἵππους ἀναστρεφόμενοι. Ἵππος. παρὰ τοῖς ποσὶν ἴεσθαι. ἵπτασθαι, ὅ ἐστι πέτεσθαι. Ἱππότης. ὁ ἱππεὺς, ὁ ὀχούμενος τῷ ἵππῳ. Ἱπποφορβός. ὁ ἱπποτρόφος. φορβὴ γὰρ ἡ τροφή. Ἵππερως. ἵππων ἔρως.

— Θηλυκόν. —

Ἴπος. ἡ τῶν μυῶν παγίς. Ἱππαγωγούς. τὰς ἵππους καὶ ἄνδρας ἀγούσας
ι.1117 ναῦς. Ἱππαφέσεων. τῆς ἀφετηρίας, ὅ ἐστι τοῦ καγκέλλου. Ἱππεία. ἡ ἵππευσις. καὶ ἱππεία φάτνη καὶ οὐρά. καὶ ἱππεία Ἀθηνᾶ. Ἱππείων ὁπλέων. τῶν ὀνύχων τῶν ἵππων. Ἱπποσύνη. ἡ περὶ τοὺς ἵππους ἐμπειρία. ἢ ἐπιστήμη ἱππική.

ἔγχεΐ θ’ ἱπποσύνῃ τε—.

Ἵππουριν. ἐξ ἱππείων τριχῶν λόφον ἔχουσα. λόφος δὲ τὸ προνεῦον τῆς περικεφαλαίας ἀνάστημα καταπλήξεως χάριν καὶ κόσμου ὄν. Ἱππαρχία. δύο ταραντιναὶ ἱππέων ἀνδρῶν ιη. Ἱππάκη. τυρὸς ἵππειος. Ἵππευμα. πορείαν. Ἀριστοφάνης·

ὡς μακρὸν ἵππευμα διώκεις
ἀστεροειδέα νῶτα διφρεύουσ’
αἰθέρος—.

ι.1118 Ἵππειον κράτος. ἡ τοῦ ἵππου ἰσχύς. καὶ ἵππειον θράσος. Ἱππήλατον. εὐρύχωρον, πλατύ. ἱππήλατον πεδίον διώδευον. Ἴπνια. τὰ ἀποκαθάρματα τοῦ φούρνου. ἢ τὰ πρὸς καῦσιν ἐπιτήδεια. λέγει δὲ Καλλίμαχος καὶ κόπρον τῶν ζώων·

σὺν δ’ ἄμυδις φορυτόν τε καὶ ἴπνια λύματ’
ἄειρεν.

Ἱποκάμισον. ..... Ἱππάζεται. οὐχ ἁπλῶς τὸ περὶ ἱππικὴν ἔχειν, ἀλλ’ ἐφ’ ἑνὸς ἵππου ὀχεῖσθαι, ὃν νῦν κέλητα καλοῦσιν. Ἵππευε. ἵππων φρόντιζε. Ἰπούμενος. ἀναγκαζόμενος, πιεζόμενος. Ἀριστοφάνης·

ἰπούμενος ταῖς συμφοραῖς.

ι.1119 παρὰ γὰρ τὸ ἵπος, ὃ σημαίνει τὴν παγίδα, γέγονεν ἰπῶ καὶ ἰπούμενος.

ἵπος δὲ σημαίνει τὴν παγίδα τῶν μυῶν. καὶ τοῦτο γὰρ τὸ εἶδος φθαρτικόν ἐστιν αὐτῶν. Ἵπτω. τὸ βλάπτω.

μέγα δ᾽ ἴψαο λαὸν Ἀχαιῶν.

Ἰπῶ. τὸ θλίβω.

Τὸ Ι μετὰ τοῦ Ρ. — Ἀρσενικόν. —

Ἴρηξ. ὁ ἱέραξ. Ἱρῆας. τοὺς ἱερέας. Ἱρός. ὁ ἱερὸς κατὰ κρᾶσιν.

χῶρος ὅδ᾽ ἱρὸς, ὡς ἀπεικάσαι, βρύων
δάφνης, ἐλαίας, ἀμπέλου· πυκνότεροι δ᾽
εἴσω—.

Ἶρος. πτωχός. πένης. μακρὸν τὸ ἰῶτα. παρὰ τὸ εἴρω, τὸ λέγω, ὡς δηλοῖ καὶ ὁ ποιητὴς λέγων·

Ἶρον δὲ νέοι κίκλησκον ἅπαντες,
Οὕνεκ᾽ ἀπαγγέλλεσκε κιὼν, ὅτε πού τις ἀνώγοι.

ἀλλ᾽ ἔστιν εἰπεῖν, ὥσπερ ἀπὸ τοῦ ἱερεὺς, ἱρεὺς, κράσει τοῦ ι καὶ ε εἰς ι μακρὸν, οὕτω καὶ ἀπὸ τοῦ ἱερὸς γίνεται Ἶρος. πολλὰ γὰρ εὑρίσκομεν ὀξύτονα, ἅτινα γινόμενα κύρια καὶ βαρύνονται. οἷον πυρὸς Πύρρος·

ι.1120 ξανθὸς Ξάνθος· γλαυκὸς Γλαῦκος. οὕτως οὖν καὶ ἱρὸς Ἶρος. καὶ ἄλλως· τὰ διὰ τοῦ ιρος δισύλλαβα διὰ τοῦ ι γράφονται. οἷον Πῖρος, ὄνομα ποταμοῦ· Κῖρος, κύριον· Μῖρος, ποταμὸς Φρυγίας· Τῖρος, ὄνομα ποταμοῦ. οὕτως οὖν καὶ Ἶρος. Ἴρτιος. κύριον.

— Θηλυκόν. —

Ἱρά. ἐκκλησία. καὶ ἱραί. Ὅμηρος·

—ἱράων προπάροιθε—

καὶ ἱρῶν μηνίσας παρ᾽ Ὁμήρῳ. Ἱρή. πόλις. Ἶρις. νέφος ὑγρὸν κατὰ ἔμπτωσιν ἡλίου πεποικιλμένον, ὃ καλεῖται τόξον. ἢ αὐγαὶ ὑφ᾽ ὑγρῶν νεφῶν ἀνακεκλασμένα. ἢ ἔμφασις ἡλίου τμήματος ἢ σελήνης ἐν νέφει δεδροσισμένῳ, κοίλῳ καὶ συνεχεῖ πρὸς φαντασίαν, ὡς ἐν κατόπτρῳ φανταζομένην, κατὰ κύκλου περιφέρειαν. ἰστέον δὲ, ὅτι τῆς ἴριδος τὸ χλωρὸν ἀέρος σημαντικὸν, τὸ πυρρὸν πνευμάτων, τὸ δὲ μελανίζον ὑδάτων. Ἶρις. παρὰ τὸ ῥεῖν καὶ κινεῖν τὸν ὄμβρον. σημαίνει δὲ καὶ τὸν ἄγγελον τῶν θεῶν. παρὰ τὸ εἴρειν καὶ προλέγειν τὰ μέλλοντα. σημαίνει καὶ ποταμὸν παρὰ Ἀπολλωνίῳ·

ποταμὸν ταχύρρουν Ἶριν.

ι.1121 καὶ Ἴρις ὄνομα τόπου. Ἶρος. πόλις Θεσσαλίας. ἀπὸ τοῦ Ἴρου τοῦ κτίσαντος αὐτήν. Ἴριγγας. τὰς ἀρτηρίας φησὶν Ἱπποκράτης. λέγει δὲ καὶ ὁ Ψελλός· τὰς ἀρτηρίας ἴριγγας, τὰ δὲ ὀστᾶ ῥοώδη· ὑπόξηρον τὸ ἄποξυ, σφάκελος τὸ φλεγμαίνειν.

— Οὐδέτερον. —

Ἱρά. τὰ ἱερά. Ἱρεῖον. τὸ θῦμα.

Τὸ Ι μετὰ τοῦ Σ. — Ἀρσενικόν. —

Ἰσαάκ. κύριον. ἀγαλλίασις ἑρμηνεύεται. Ἴσακος. ὁ Ἰσαὰκ ἑλληνιστί.

ι.1122 Ἰσακίῳ. ἀνδρείῳ. Ἰσάγγελος. ἶσος ἀγγέλῳ. Ἰσθμός. θάλασσα, μέσον ἔχουσα γῆν. πορθμὸς δὲ γῆ ἔνθεν κἀκεῖθεν, καὶ μέσον θάλασσα. παρὰ τὸ ἴσω, ἰσμὸς καὶ πλεονασμῷ τοῦ θ ἰσθμός. ἢ παρὰ τὸ ἵημι. οὕτως Ἡρωδιανός. Ἰσθμός. καὶ ὁ λαιμός. παρὰ τὸ εἰσιέναι παρ᾽ αὐτοῦ τὰ ποτὰ καὶ τὰ βρώματα. Ἰσσικὸς κόλπος. Ἰσκαριώτης. μνήμη θανάτου ἑρμηνεύεται. Ἴσκος. ὁ κλέπτης. ἐξ οὗ καὶ ἴσκω. Ἰσμαήλ. κύριον. ἑβραϊστὶ ἑρμηνεύεται ὁ μεθ᾽ ἡδονῆς γέλως. Ἰσοτελεῖς. ἴσα τελοῦντες Ἰσοχειλεῖς. μέχρι χείλους πεπληρωμένοι. ἦσαν δὲ κρατῆρες οἴνου ἰσοχειλεῖς. Ἶσος. ὁ ὅμοιος. ἰστέον, ὅτι τὸ ἶσος εὕρηται συνεσταλμένον·

ἤλασε Κιμμερίῳ ψαμάθῳ ἴσον—

ι.1123 οὕτω Καλλίμαχος. παρὰ τὸ εἴδω, τὸ ὁμοιῶ, ὁ μέλλων εἴσω, ῥῆμα ὄνομα εἶσος, καὶ ἀποβολῇ τοῦ ε ἶσος.

οὐ μὲν σοί ποτ᾽ ἶσον ἔχω γέρας—.

Ἰσουργός. ὁ τὰ ἶσα ἐργαζόμενος. Ἱστοριαγράφον, οὐχ ἱστοριογράφον λέγουσιν οἱ Ἀττικοί. Ἴστρος. ὁ ποταμὸς ὁ παρ᾽ Ἑβραίοις Φεισσὼν, παρὰ δὲ Ἰνδοῖς Γάγγης, παρὰ δὲ Αἰθίοψιν Ἰνδὸς, παρ᾽ Ἕλλησι δὲ Δανούβιος. Ἱστός. τὸ κατάρτιον. καὶ ἱστὸς τὸ ἱστάριον. παρὰ τὸ ἵστημι. ὅθεν καὶ στύλος.

ἱστὸν ἐποιχομένην—

τὸ γὰρ παλαιὸν αἱ γυναῖκες ἑστῶσαι ὕφαινον. τὸ δὲ ἐποιχομένην, ἐπὶ τὸν ἱστὸν πορευομένην. Ἴστωρ. ὁ ἐπ᾽ ἄκρῳ τῷ ῥυμῷ ἐμπεπηγμένος

ι.1124 πάτταλος. καὶ κλίνεται ἵστορος. ἵστωρ καὶ ὁ ἐπιστήμων. ἀπὸ τοῦ εἴδω, εἴσω, ῥήματος. ῥηματικὸν ὄνομα ἵστωρ, καὶ κλίνεται ἵστορος. καὶ ἐξ αὐτοῦ ἱστορία. Ἵστορι. καὶ ἀντὶ τοῦ μάρτυρι ἢ κριτῇ. Ἰσραήλ. ἑρμηνεύεται νοῦς ὁρῶν τὸν θεὸν, ἢ ὅστις διὰ πίστεως ὁρᾷ τὸν θεὸν τῷ

νοΐ. Ἰσχυρός. ὁ ἰσχύος καὶ δυνάμεως ἔχων. Ἰσχυρογνώμων. σκληρὸς, ἔξαρνος. Ἰσχνόφωνος. λεπτόφωνος. Ἰσχνός. παρὰ τὸ ἴσχω ἰσχνὸς, πλεονασμῷ τοῦ ν. οὕτως Φιλόξενος. Ἱστορικός. ὁ τὰ πρὸ αὐτοῦ γεγενημένα συγγράφων, ὡς Ἡρόδοτος. συγγραφεὺς δὲ ὁ κατὰ τὸν
ι.1125 χρόνον αὐτοῦ συγγράφων, ὡς Θουκυδίδης. Ἴσσος. ὄνομα ποταμοῦ.

— Θηλυκόν. —

Ἴς. ἡ δύναμις, τὰ νεῦρα. Ἴσσα. ἡ Μιτυλήνη. ὄνομα πόλεως. Ἴσας δ' ὑσμίνη κεφαλὰς ἔχον. ἀντὶ τοῦ· ἥ τε τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων μάχη ἰσοκέφαλος ἦν. Ἰσθμικὴ πίτυς. ἆθλον ἐπινίκιον. Ἴσμαρος. ἡ νῦν καλουμένη Μαρώνεια. ἀπὸ τοῦ Ἰσμάρου, τοῦ Ἄρεως καὶ Θρᾴκης παιδός. Ἱστορία. θέα. διήγησις. Ἱστία. ἡ καθέδρα. Ἱστοπέδη. ξύλον ὀρθὸν ἀπὸ τῆς
ι.1126 τροπώσεως, ᾧ προσδέδεται ὁ ἱστός. Ἱστοδόκη. ξύλον ὑποδεχόμενον τὸν ἱστόν. Ἰσχνομυθίας. λεπτολογίας.

— Οὐδέτερον. —

Ἴσθμια. περιστόμια· περιδέραια. καὶ ἑορτὴ τῶν Ἑλλήνων. καὶ ἰσθμιάζειν ἐπὶ τῶν κακῶς βιούντων. ἐπίνοσος γὰρ ὁ τῶν ἰσθμῶν καιρός. Ἴσμα. παρὰ τὸ ἵζω. Ἰσόρροπον. τὸ ἰσοστάσιον. Ἰσοστάσιον. τὸ ἶσον τῷ σταθμῷ. Ἰσοσθενές. τὸ ἰσοδύναμον. Ἰσοκλεές. τὸ ἶσον ἔχον δόξαν. Ἰσόπεδον. ἔχον ἴσην τὴν γῆν. Ἰσόκωλον. τὸ ἶσα μέρη ἔχον. Ἰσοπαλῆ. ἐν κλήρῳ ἶσα.
ι.1127 πάλος γὰρ ὁ κλῆρος. Ἱστίον. τὸ ἄρμενον. παρὰ τὸ ἵζειν ἐφ' ἑνὸς τόπου καὶ ἱδρύσθαι. ἵζω, ἱστὸς καὶ ἱστίον. Ἰσχίον. τὸ κοῖλον γλουτοῦ, ὅπου ἡ κοτύλη στρέφεται. Ἰσχνόν. λεπτόν. Ἰσχυρόν. μέγα. βαθύ. ἔτι ἰσχυρὸν τραῦμα λαβοῦσ' ὑπ' ἐμοῦ.

— Ῥῆμα. —

Ἴσαν. ἐπορεύθησαν. παρ' Ὁμήρῳ καὶ μόνον. εἶμι, ὁ παρατατικὸς ἦν, τὸ πληθυντικὸν τὸ α ἴμεν, ἴτε ἴσαν. καὶ ἴσαν ἀντὶ τοῦ ἔγνωσαν. Ἴσατο. καθίδρυσεν. Ἴσασι. γινώσκουσιν. ἀπὸ τοῦ ἰσῶ παράγωγον ἴσημι. τοῦτο δὲ πάλιν ἀπὸ τοῦ εἴδω τοῦ σημαίνοντος τὸ ἐπίσταμαι. τὸ πληθυντικὸν ἴσαμεν, ἴσατε, ἴσασιν. ὥσπερ δίδοσιν οὐ περισπᾶται. Ἴσθι. γίνωσκε. ἔστιν εἰδῶ τὸ γινώσκω, ὁ μέλλων εἴσω. ἐξ οὗ καὶ τὸ εἴσομαι. οὗ ὁ μέλλων σπασθεὶς ἐνεστὼς γίνεται ἰσῶ, διὰ τοῦ ι. τὰ γὰρ εἰς ω λήγοντα ῥήματα
ι.1128 κατ' ἔνδειαν διχρόνῳ βραχεῖ παραλήγει. οἷον· πείθω, πιθῶ· στείχω, στιχῶ· φείδω, φιδῶ· τεύχω, τυχῶ· οὕτως οὖν καὶ εἴδω, εἴσω, ἰσῶ, διὰ τοῦ ι

βραχέος. ἐκ τούτου γίνεται παράγωγον τῶν εἰς μι ἴσημι, ὁ παρατατικὸς, ὅπερ Δωρικῶς γίνεται ἴσαμι. τούτου τὸ πληθυντικὸν ἴσαμεν, καὶ κατὰ συγκοπὴν ἴσμεν. τὸ β ἴσατε, καὶ κατὰ συγκοπὴν ἴστε. τούτου τὸ προστακτικὸν ἴσαθι, καὶ ἐν συγκοπῇ ἴσθι. τὸ τρίτον ἴστω. τὸ β τῶν δυϊκῶν ἴστον· πλεονασμῷ τοῦ ε, ἰστέον. Ἴσθι. ὕπαρχε. ἀπὸ τοῦ εἰμί. τὸ α τῶν πληθυντικῶν ἔμεν, ὅπερ κατὰ πλεονασμὸν τοῦ ς γίνεται ἐσμέν. ἀπὸ τοῦ ἔμεν γέγονε τὸ προστακτικὸν ἔθι, καὶ πλεονασμῷ τοῦ ς ἴσθι· τὸ γὰρ ε πλεονάσαντος συμφώνου τρέπεται εἰς ι. οἶον· ἔχω, ἴσχω. οὕτως οὖν καὶ ἔθι, ἴσθι. τοῦτο δὲ τὸ ἴσθι κατὰ τὸ τρίτον πρόσωπον τὸ ὀφειλόμενον ε ἀναδέχεται καὶ γίνεται ἔστω. Ἰσηγορεῖ. ἐπ᾽ ἴσης λέγει. Ἴσημι. γινώσκω.

ι.1129 καὶ ἴσαμεν. Ἴσκω. τὸ κλέπτω. Ἴσκειν. τὸ εἰκάζειν. Ἰσοφαρίζειν. ἐξισοῦσθαι. ἶσος φαίνεται. ἐξισάζειν. Ἰστέον. γνωστέον. Ἱστορῆσαι. θεάσασθαι. Ἴστε. γινώσκετε. Ἵστη. ἀντὶ τοῦ στῆσον. προστακτικῶς. καὶ ἵστης, εἰργάσω. Ἱστορημένα. πρὸς θέαν ἱστάμενα. οὕτω γὰρ ἦσαν ἱστορημένα μόνον. Ἴσχανα. ἔξυσα. ἐλέπτυνα. Ἀριστοφάνης·

ἴσχανα τὴν τέχνην ἐπυλλίοις καὶ περιπάτοις.

Ἰσχάνει. κωλύει. καὶ ἰσχανόωσα. καὶ ἰσχανόωσιν. Ἰσχανόω δὲ, τὸ

ι.1130 ἐπιθυμῶ, γενικῇ. Ἴσχεο. πέπαυσο. καὶ ἴσχεσθε. Ἴσχει. κρατεῖ. Ἰσχυρίζεται. ἐνίσταται. διαβεβαιοῦται. φιλονεικεῖ. Ἰσχνομυθοῦντες. ἀκριβολογοῦντες. λεπτολογοῦντες.

— Ἐπίρρημα. —

Ἴσσα. ἐπίφθεγμα ἐπὶ τῶν ὅλως δυσπραγούντων. Ἴσως. τάχα ἢ ὁμοίως.

Τὸ Ι μετὰ τοῦ Τ. — Ἀρσενικόν. —

Ἰταμός. ἀναίσχυντος, ἀναιδής. παρὰ τὸ ἴεσθαι, ὅ ἐστιν ὁρμᾷν. Ἴτης. ὁ πτωχός. ὁ ὁρμητικός. ὁ ἐπὶ πάντας ὁρμῶν. ἀπὸ τοῦ ἰέναι. ἀπὸ τούτου καὶ

ι.1131 εἰσητήρια. οὕτως Ὧρος ὁ Μιλήσιος. Ἴτυλος. ὁ ὀρφανός.

— Θηλυκόν. —

Ἰτέα. τόπος. ἀφ᾽ ἧς ὁ δημότης ὁ Ἰτεαῖος. Ἰτέα. τὸ δένδρον. παρὰ τὸ ἰέναι· ταχέως γὰρ αὔξεται. Ἴτυς. περιφέρεια ὅπλου. ὁ δὲ Καλλίμαχος, ὡς ὁρᾷ αὐτὸν παριόντα, ἐπιλαμβάνεται αὐτῆς τῆς ἴτυος. λέγει δὲ τὴν ἀσπίδα. Ἰτώνη. καὶ Ἰτωνία. ἡ Ἄρτεμις. Ἰτωνίς. χώρα. καὶ κλίνεται Ἰτωνίδος.

— Οὐδέτερον. —

Ἰταβύριον. ὄρος οὕτω καλούμενον. ἔστι δὲ λίαν ὑψηλόν. Ἰτρία. καπυρώδη πλάσματα. καὶ ἴτριον. ἀπὸ τοῦ ἰέναι· ἐπὶ λεπτὸν γὰρ ἕλκεται. Ἴτρον. τὸ ὑποκάτω τοῦ ὀμφαλοῦ μέρος. ἐξ οὗ καὶ ἴτρα, καὶ μίτρα, ἡ περὶ
ι.1132 αὐτὴν ζώνη. Ἰτρόγαλα. ..... Ἰτέον. πορευτέον. Ἰτητέον. πορευτέον.

— Ῥῆμα. —

Ἴτην. ἐπορεύθησαν. ἴημι. καὶ σημαίνει τὸ πέμπω. τοῦτο γίνεται κατὰ συγκοπὴν τοῦ η ἴμι, ὁ παρατατικὸς ἴν, ἴσι, τὸ δυϊκὸν ἴτον, ἴτην.
τὼ δ' αὖτ' ἴτην παρὰ νῆας Ἀχαιῶν.
Ἴτω. ἰέτω. ἐρχέσθω. ἀλλ' ἴτω· χαιρέτω γῆν πρὸ γῆς, ὅποι βούλοιτο. ἀπὸ τοῦ εἶμι. τὸ α τῶν πληθυντικῶν ἴμεν. τὸ προστακτικὸν ἴθι. τὸ τρίτον ἴτω.

Τὸ Ι μετὰ τοῦ Υ. — Ἀρσενικόν. —

Ἰυγμός. βοὴ, φωνή. Ἴυξ. κύριον.

— Θηλυκόν. —

Ἴυγξ. ἔρως, ἢ ὁ τοῦ λόγου ῥυθμός. καὶ τὸ ὄρνεον τὸ λεγόμενον σεισοπύγης. τοιαύτη τις προσῆν ἴυγξ Διογένους τοῖς λόγοις τοῦ κυνός.
Ἴυγγες. λεπτοὶ πόροι. καὶ αἱ τέρψεις. καὶ τὰ ἐφέλκοντα τὴν διάνοιαν εἰς
ι.1133 ἐπιθυμίαν καὶ ἔρωτα.

— Ῥῆμα. —

Ἰύζει. βοᾷ. κράζει. ἀγροικικῇ τῇ φωνῇ φωνεῖ. πεποίηται δὲ τὸ ὄνομα ἀπὸ τοῦ ἰοῦ ἐπιρρήματος.

Τὸ Ι μετὰ τοῦ Φ. — Ἀρσενικόν. —

Ἴφις, Ἴφιδος. ὄνομα κύριον. καὶ ὁ ταχύς. Ἰφίνοος· Ἰφικλῆς· Ἴφικλος· Ἰφικράτης· Ἴφιτος· Ἰφίστιος. ὀνόματα κύρια. Ἴφθιμος. ὁ ἰσχυρὸς καὶ γενναῖος. ὡς παρὰ τὸ ἄνθος γίνεται ἄνθιμος, καὶ κῦδος κύδιμος, οὕτως καὶ παρὰ τὸ ἴφι ἴφιμος καὶ πλεονασμῷ τοῦ θ ἴφθιμος. ἢ παρὰ τὸ ἴφι καὶ θυμὸς ἰφίθυμος καὶ συγκοπῇ ἴφθιμος.

— Θηλυκόν. —

ι.1134 Ἰφιγένεια. κύριον. Ἰφικράτιδες. εἶδος ὑποδήματος. εἴποτε δὲ τὰς ἀττικὰς ἰφικράτιδας. ὁ γὰρ Ἰφικράτης σκυτέως πατρὸς υἱός. Ἰφίη. εἶδος ἀγρίου λαχάνου. Ἰφύς. ἡ ὀφρύς.

— Οὐδέτερον. —

Ἴφιον. τὸ λιπαρόν. Ἴφια μῆλα. ἰσχυρῶς βαδίζοντα. εὐτραφῆ. ἢ κατ'

εὐφημισμόν. ἢ ἰσχυροποιὰ τῶν ἀσθενούντων. μῆλα δὲ τὰ πρόβατα λέγει.

— Ῥῆμα. —

Ἰφύει. βοᾷ.

— Ἐπίρρημα. —

Ἶφι. ἰσχυρῶς. ὥσπερ ἀπὸ τοῦ νόστου γίνεται νοστόφι καὶ ἐν συγκοπῇ νόσφι, οὕτω καὶ ἀπὸ τοῦ ἴς, ἰνὸς, ἰνόσφι καὶ κατὰ συγκοπὴν ἶφι. ἐπὶ δὲ
ι.1135 τοῦ ἴφι κατὰ ἀντίφρασιν ἐστί· σημαίνει δὲ τὰ ἀσθενῆ καὶ οὐ τὰ ἰσχυρά. ἡ εἰς φι συλλαβὴ κατὰ πᾶσαν πτῶσιν φυλάσσεται, οἷον· χαλκόφι· οὐρανιάφι.

Τὸ Ι μετὰ τοῦ Χ. — Ἀρσενικόν. —

Ἰχθυοβολεὺς καὶ ἰχθυουλκός. ὁ ἁλιεύς. Ἰχθῦς. περισπᾶται. παρὰ τὸ θύω, τὸ ὁρμῶ, ἰθῦς καὶ πλεονασμῷ τοῦ χ ἰχθῦς. Ἰχνεύμονος. εἶδος ζώου καὶ ἰχθύος. Ἰχώρ. τὸ σεσηπὸς αἷμα. παρὰ τὸ ἔχω, ἴσχω, ἰσχὼρ, κατὰ ἀποβολὴν τοῦ ς ἰχώρ. ὅθεν καὶ τὸ ι φυλάσσει μακρόν. τὸ γὰρ ἰχὼρ θέσει μακρόν ἐστι· ὡς ἐν τῷ γίγνεται, γίνεται. Ἰχῶ. τὸν ἰχῶρα, κατὰ ἀποκοπήν. ἡ εὐθεῖα ὁ ἰχὼρ, τοῦ ἰχῶρος, τὸν ἰχῶρα, τὸν ἰχῶ.

ἀπ᾽ ἰχῶ χειρὸς ὀμόργνυ.

— Θηλυκόν. —

ι.1136 Ἴχλα. ἡ κίχλα. Ἰχναίη. ἡ Μακεδονία.

— Οὐδέτερον. —

Ἴχνος. βῆμα ποδός. παρὰ τὸ ἴσχειν, ὅ ἐστι συνέχειν ὅλον τὸ πόδα. ἢ ἀπὸ τοῦ ἀνέχεσθαι τῆς γῆς. οὕτως Ὧρος ὁ Μιλήσιος. Ἰχθυόκεντρον. ἡ τρίαινα. ἤτοι καμάκιον.

— Ῥῆμα. —

Ἰχθυάα. ἰχθύας ἀγρεύει. Ἰχνηλατῆσαι. διὰ τῶν ἰχνῶν ἀναζητῆσαι. Ἰχνεύει. ἐρευνᾷ. ζητεῖ. Ἰχνᾶται. ἰχνοσκοπεῖ.

Τὸ Ι μετὰ τοῦ Ψ. — Ἀρσενικόν. —

Ἴψ. ὁ σκώληξ. καὶ κλίνεται ἰπὸς, ἡ δοτικὴ τῶν πληθυντικῶν τοῖς ἰψίν.

— Ῥῆμα. —

Ἴψας. ἔβλαψας. εἴψας δὲ ἀντὶ τοῦ ἠκολούθησας, δίφθογγον. Ἴψω. ἔβλαψας.

μέγα δ᾽ ἴψαο λαὸν Ἀχαιῶν.

ι.1137 *Τὸ Ι μετὰ τοῦ Ω. — Ἀρσενικόν. —*

᾽Ιωάς. κύριον. ᾽Ιωβάδας. κύριον. ᾽Ιωβηλαῖος. μὴν οὕτω καλούμενος παρὰ ᾽Ιουδαίοις καὶ τιμώμενος. ἰστέον, ὅτι τὸ ἀργὸν ἔτος κατὰ τὴν ἑπταετίαν ἠργεῖτο παρὰ ᾽Ιουδαίοις ὁμοίως ταῖς ἑβδομάσιν ἡμέραις. ᾽Ιώβ. κύριον. ἑρμηνεύεται δὲ πρόσωπον πόνου. ᾽Ιωδαέ. κύριον. ᾽Ιώεσδρος. κύριον. ᾽Ιωήλ. κύριον. ᾽Ιωθάμ· ᾽Ιωθήρ. ὀνόματα κύρια. ᾽Ιώλκιος. κύριον. ᾽Ιωνάθας. κύριον. Ἴωνες. οἱ περὶ τὴν Ἀσίαν. ᾽Ιωάννης. κύριον. ἑρμηνεύεται χάρις, ἢ θεωρητικὸς, ἢ θεολογικὸς, ἢ ἀγαπώμενος, διὰ παρθενίας καὶ καθαρότητος. ᾽Ιωάχαζ. κύριον. ᾽Ιωάβ. κύριον. ᾽Ιωσῆς. κύριον. ᾽Ιώσηπος·

ι.1138 ᾽Ιωσεδέκ. κύρια. ᾽Ιωσίας. κύριον. οὗτος ὑπὲρ τῆς εὐσεβείας κατὰ τοῦ θεοῦ ἐζήλωσεν, ὡς καὶ τὰ ὀστᾶ τῶν πάλαι ἀποθανόντων ἱερέων τῶν εἰδώλων ἀνασκάψαι καὶ διαλικμῆσαι. ᾽Ιωάθαμ. κύριον. ἑρμηνεύεται δὲ καὶ συντέλεια. ᾽Ιωρός. κύριον. σημαίνει καὶ τὸν θυρωρὸν, καὶ τὸν φύλακα. ᾽Ιωχμός. θόρυβος. παρὰ τὸ διώξω, διωγμὸς, καὶ τροπῇ τοῦ γ εἰς χ καὶ ἀποβολῇ τοῦ δ, ἰωχμός. ᾽Ιωφονίας. κύριον. ᾽Ιωάννης. ὁ τῷ λόγῳ διὰ πραότητα καὶ πολλὴν καθαρότητα τῆς καρδίας ἀγαπώμενος.

— Θηλυκόν. —

᾽Ιωάννα. κύριον. ἑρμηνεύεται περιστερά. ᾽Ιωγή. ἡ σκέπη.

Βορέω ὑπ᾽ ἰωγῇ.

ἀπὸ τοῦ ἰέναι. τὸ γὰρ σκέπον ἐπὶ πᾶν, ὃ σκέπει, ἴεται. Ἴων. ὄνομα πόλεως. ᾽Ιωή. ἡ πνοή. παρὰ τὸ ἴημι, ἰὴ, καὶ πλεονασμῷ τοῦ ω, ἰωή, καὶ ἡ

ι.1139 φωνή. παρὰ τὸ ἴω γίνεται ἰωὴ ἡ διικνουμένη εἰς ἀκοήν. οὕτως Ὧρος ὁ Μιλήσιος. ᾽Ιωκή. ἡ βοή. δίωξις. παρὰ τὸ διώκω διωκὴ, καὶ ἀποβολῇ τοῦ δ, ἰωκή. ᾽Ιῶκα. τὴν ἰωκὴν λέγει, ὅ ἐστι τὴν ὁρμὴν, τὴν δίωξιν. οὕτως Ὧρος. ὡς Ἡσίοδος τὴν κρόκην, κρόκα. ὥστε μεταπλασμός ἐστιν. Ὅμηρος· ἰῶκά τε δακρυόεσσαν.

᾽Ιωκάς. ὁρμὰς, διώξεις. ᾽Ιῶλκα. αὔλακα. Ἴωξις. ἡ δίωξις. ὡς ἀπὸ τοῦ λέγω, λέξω, λέξις, ἔξω, ἔξις, οὕτως καὶ ἀπὸ τοῦ διώκω, διώξω, δίωξις, καὶ ἀποβολῇ τοῦ δ, ἴωξις, ἡ δίωξις. ᾽Ιωνία. χώρα. ᾽Ιώνυμφα. κύριον.

ι.1140 ᾽Ιωνιά. ἡ τῶν ἴων πρασιά. ὡς καὶ κρινωνιὰ καὶ ῥοδωνιά.

— Οὐδέτερον. —

᾽Ιωτάπατα. τόπος. ᾽Ιά. τὰ βέλη καὶ τὰ φάρμακα. ᾽Ιῶτα. τὸ στοιχεῖον. παρὰ

τὸν ἰὸν τῶν ἰοβόλων ζώων. εἰς ὀρθὸν γὰρ βαδίζειν ὁ ἰὸς, ὡς καὶ ἡ τούτου γραφή. ἢ ἀπὸ τοῦ ἰοῦ, τοῦ βέλους.

— *Ῥῆμα.* —

Ἰώθη. ἐχολώθη. ἢ ἰοῦ ἐπληρώθη. Ἴωμεν. ἔλθωμεν. βαδίσωμεν. Ἰών. ἀντὶ τοῦ πορευθεὶς, ὀξυτόνως, καὶ ἀντὶ τοῦ ἐλθών. Ἰώ. ἀντὶ τοῦ φεῦ.

ἰὼ τραυμάτων ἐποδύνων.

ἰὼ, βαρύβρομοί τε βρονταί.

ἐκ τοῦ ἰωὴ κατὰ συγκοπὴν ἰώ. Τρύφων δὲ λέγει, τὸ ω κλητικὸν προσέλαβε τὸ ι καὶ ἐγένετο ἰώ.

---

https://eulogikon.org/works/pseudo-zonaras-lexicon-letter-iota-yem-aj · eul_wid yem-aj · Diogenes Lab reading page 414ae829d614